Μένδη.

Παυσανίας Ἠλιακῶν Α V. 10. σ. 372.

«ἔχει δὲ ϗ ἐς τὰ ἄλλα (ὁ Κλάδεος ποταμὸς) παρ' Ἠλείων τιμὰς ποταμῶν μάλιστα μετά γε Ἀλφειόν. Τὰ δὲ ἀριστερὰ ἀπὸ τοῦ Διὸς ὁ Πέλοψ ϗ Ἱπποδάμεια ϗ ὅ τε ἡνίοχος ἐστι τοῦ Πέλοπος ϗ ἵπποι, δύο τε ἄνδρες, ἱπποκόμοι δὴ ϗ οὗτοι τῷ Πέλοπι. ϗ αὖθις ὁ ἀετὸς κάθεισιν ἐς στενόν, ϗ κατὰ τοῦτο Ἀλφειὸς ἐπ' αὐτοῦ πεποίηται. τῷ δὲ ἀνδρὶ ὃς ἡνιοχεῖ τῷ Πέλοπι λόγῳ μὲν τῷ Τροιζηνίων ἐστὶν ὄνομα Σφαῖρος, ὁ δὲ ἐξηγητὴς ἔφασκεν ὁ ἐν Ὀλυμπίᾳ Κίλλαν εἶναι. τὰ μὲν δὴ ἔμπροσθεν ἐν τοῖς ἀετοῖς ἐστι Παιωνίου, γένος ἐκ Μένδης τῆς Θρᾳκίας, τὰ δὲ ὄπισθεν αὐτῶν Ἀλκαμένους, ἀνδρὸς ἡλικίαν τε κατὰ Φειδίαν ϗ δευτερεῖα ἐνεγκαμένου σοφίας ἐς ποίησιν ἀγαλμάτων.

XXVI. σ. 415.

«Μεσσηνίων δὲ τῶν Δωριέων οἱ Ναύπακτόν ποτε παρὰ Ἀθηναίων λαβόντες ἄγαλμα ἐν Ὀλυμπίᾳ Νίκης ἐπὶ τῷ κίονι ἀνέθεσαν. τοῦτο ἐστιν ἔργον μὲν Μενδαίου Παιωνίου, πεποίηται δὲ ἀπὸ ἀνδρῶν πολεμίων ὅτε Ἀκαρνᾶσι ϗ Οἰνιάδαις ὡς δοκεῖν, ἐπολέμησαν. . . . .

Μένδη.

Παυσαν. V. XXVII. §§ 11.12 – 20. „ἔστι δὲ ἐν ταῖς ἐν τῇ Ἄλτει πλατάνοις κατὰ μέσον μάλιστα τὸν περίβολον τρόπαιον χαλκοῦν,

. . . . . 8 τὸν δὲ ἐν Θρᾴκῃ Μενδαίων τὸ ἀνάθημα ἐγγύτατα ἀφίκετο ἀπατῆσαί με ἐς ἀνδρὸς δόκησιν ἐπὶ πεντάθλου· κεῖται μὲν παρὰ τὸν Ἠλεῖον Ἀναυχίδαν, ἔχει δὲ ἁλτῆρας ἀρχαίους· ἐλεγεῖον δὲ ἐπ' αὐτῷ γεγραμμένον ἐστὶν ἐπὶ τοῦ μηροῦ·

Ζηνὶ θεῶν βασιλεῖ μ' ἀκροθίνιον ἐνθάδ' ἔθηκαν
Μενδαῖοι, Σίπτην χερσὶ βιασσάμενοι.

τὸ μὲν δὴ Θρᾴκιον τι εἶναι τεῖχος καὶ πόλις ἔοικεν ἡ Σίπτη, Μενδαίοις δὲ αὐτοῖς γένος τε Ἑλληνικὸν καὶ ἀπὸ Ἰωνίας ἐστίν, οἰκοῦσι δὲ ἀπὸ θαλάσσης ἄνω τῆς πρὸς Αἴνῳ πόλει.

XXV. §§ 4.13. . . ἔστι δὲ πρὸς αὐτῷ τείχει τῆς Ἄλτεως Ἀκραγαντίνων ἀναθήματα καὶ Ἡρακλέες δύο τῶν ἀνδριάντες γυμνοί, παῖδες ἡλικίαν, τὸν δὲ ἐν Νεμέᾳ τοξεύοντα ἔοικε λέοντα, τοῦτον μὲν δὴ τὸν Ἡρακλέα καὶ ὁμοῦ τῷ Ἡρακλεῖ τὸν λέοντα Ταραντῖνος ἀνέθηκεν [illegible],

. . . τὸ δὲ ἄγαλμα τὸ ἕτερον Ἀναξίππου μέν ἐστιν ἀνάθημα Μενδαίου, μετεκομίσθη δὲ ἐνταῦθα